ὑπεναντίον εἶναι μόνον, οὕτω καὶ ἡ ἐγκράτεια τῇ ἀκρασίᾳ. Ἐπεὶ δὲ καθ' ὁμοιότητα πολλὰ λέγεται, καὶ ἡ ἐγκράτεια ἡ τοῦ σώφρονος καθ' ὁμοιότητα ἠκολούθηκεν· ὅ, τε γὰρ ἐγκρατὴς οἷος μηδὲν παρὰ τὸν λόγον, διὰ τὰς σωματικὰς ἡδονὰς ποιεῖν, καὶ ὁ σώφρων· ἀλλ' ὁ μὲν, ἔχων· ὁ δ', οὐκ ἔχων φαύλας ἐπιθυμίας. καὶ ὁ μὲν τοιοῦτος οἷος μὴ ἥδεσθαι παρὰ τὸν λόγον· ὁ δ', οἷος ἥδεσθαι, ἀλλὰ μὴ ἄγεσθαι. Ὅμοιοι δὲ καὶ ὁ ἀκρατὴς καὶ ὁ ἀκόλαστος, ἕτεροι μὲν ὄντες, ἀμφότεροι δὲ τὰ σωματικὰ ἡδέα διώκουσιν· ἀλλ' ὁ μὲν, καὶ οἰόμενος δεῖν· ὁ δ', οὐκ οἰόμενος. Οὐδ' ἅμα φρόνιμον καὶ ἀκρατῆ ἐνδέχεται εἶναι τὸν αὐτόν· ἅμα γὰρ φρόνιμος καὶ σπουδαῖος τὸ ἦθος δέδεικται ὤν. ἔτι, οὐ τῷ εἰδέναι μόνον φρόνιμος, ἀλλὰ καὶ τῷ πρακτικός. ὁ δ' ἀκρατὴς, οὐ πρακτικός. Τὸν δὲ δεινὸν οὐδὲν κωλύει ἀκρατῆ εἶναι· διὸ καὶ δοκοῦσιν ἐνίοτε φρόνιμοι εἶναί τινες, ἀκρατεῖς δὲ, διὰ τὸ τὴν δεινότητα διαφέρειν τῆς φρονήσεως τὸν εἰρημένον τρόπον ἐν τοῖς πρώτοις λόγοις· καὶ κατὰ μὲν τὸν λόγον ἐγγὺς εἶναι, διαφέρειν δὲ κατὰ τὴν προαίρεσιν. Οὐδὲ δὴ ὡς ὁ εἰδὼς καὶ θεωρῶν, ἀλλ' ὡς ὁ καθεύδων ἢ οἰνωμένος· καὶ ἑκὼν μὲν, τρόπον γάρ τινα εἰδὼς, καὶ ὃ ποιεῖ, καὶ οὗ ἕνεκα· πονηρὸς δ', οὔ· ἡ γὰρ προαίρεσις, ἐπιεικής· ὥσθ' ἡμιπόνηρος, καὶ οὐκ ἄδικος· οὐ γὰρ ἐπίβουλος· ὁ μὲν γὰρ αὐτῶν, οὐκ ἐμμενετικὸς οἷς ἂν βουλεύσηται· ὁ δὲ, μελαγχολικὸς, οὐδὲ βουλευτικὸς ὅλως. καὶ ἔοικε δὴ ὁ ἀκρατὴς πόλει, ἣ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα, καὶ νόμους ἔχει σπουδαίους, χρῆται δὲ οὐδενί, ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν·

Ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.

ὁ δὲ πονηρὸς, χρωμένῃ μὲν τοῖς νόμοις, πονηροῖς δὲ χρωμένῃ. Ἔστι δ' ἀκρασία καὶ ἐγκράτεια περὶ τὸ ὑπερβάλλον τῆς τῶν πολλῶν ἕξεως· ὁ μὲν γὰρ, ἐμμένει μᾶλλον· ὁ δ', ἧττον, τῆς τῶν πλείστων δυνάμεως. εὐιατοτέρα δὲ τῶν ἀκρασιῶν, ἣν οἱ μελαγχολικοὶ ἀκρατεύονται, τῶν βουλευσαμένων μὲν, μὴ ἐμμενόντων δὲ, καὶ οἱ δι' ἐθισμοῦ ἀκρατεῖς, τῶν φυσικῶν· ῥᾷον γὰρ ἔθος μετακινῆσαι φύσεως· διὰ γὰρ

A temperantiæ eſſe contraria tantum videtur, ſic incontinentię continentia eſſe videatur. Cæterum quia multa dicuntur ex ſimilitudine, conſequitur, vt continentia temperãtis quoque per ſimilitudinem ſit. nam & continens eiuſmodi eſt, vt nihil præter rectam rationem ob corporis voluptates faciat: & ſimiliter temperans, ſed ille tamẽ prauas habet cupiditates: hic nõ habet: atque hic eſt talis, vt præter rationẽ nõ oblectetur, ille vt oblectetur quidẽ, B ſed tamen non ducatur. Similes item incontinens & intemperans inter ſe ſunt, qui quidem, cùm ſint diuerſi, vtrique corporis voluptates ſequuntur: ſed alter oportere exiſtimans, alter non exiſtimans id facit. Sed neque vt idem ſimul & prudens & incontinens ſit, fieri vllo modo poteſt. qui enim prudens ſit, eum ſimul & probum eſſe moribus demonſtratum eſt. Adde quòd non in eo ſolum quòd cognoſcit, eſt prudens quiſpiam, ſed in eo quòd C eſt actuoſus, incontinens autem actuoſus non eſt. Callidum tamen eſſe incontinentem, nihil vetat, vnde etiam prudentes eſſe nonnulli videntur, qui ſint incontinẽtes: propterea quòd calliditas eo modo quo ſuperius diximus à prudentia diſcrepat, eſtque quantum ad rationem ſpectat, proxima: quantum ad electionem, diuerſa. Neque igitur vt cognoſcens, & contemplans, ſed vt dormiens, & vino oppreſ- D ſus, ac ſponte quidem agit. quodam enim modo cognoſcit. & quid, & cuius cauſa facit: prauus tamen non eſt: quippe cum electio eius proba ſit, quare ſemiprauus eſt, & non iniuſtus. non enim eſt inſidioſus. Alter enim ex ipſis in iis quæ conſultauit, non perſtat: alter qui atra bile eſt affectus, ne conſultat quidem omnino. Ac ſimilis quidem eſt incontinens ciuitati, quæ omnia quidem quæ fieri debent, decernat, legéſque bonas habeat: ſed eis ta- E men non vtatur: quemadmodum Anaxãdrides cauillatus eſt:

Nil iura curans conſulebat ciuitas.

prauus verò vtenti quidem legibus, ſed malis, ſimilis eſt. Verſatur autem incontinentia & continentia circa id quod multitudinis habitum excedit. nam alter amplius, alter minus perſtat, quàm multitudinis facultas ſit. Atque ex inconti- F nentiis ſanabilior illa eſt, qua qui atra bile ſunt præditi, vti conſueuerunt, quàm ea quæ illorum eſt qui conſultant, ſed poſtea tamen in iis quæ conſultarunt, non perſiſtunt, incontinentes item ex aſſuetudine, quàm ex natura ſanari facilius poſſunt: quippe cùm conſuetudinẽ quàm naturã immutare facilius ſit. nam ob id